eul_wid: rrg-ci

*Χρυσοποιὸς Α'* · Alchemist I

## Creation of Lime

*Ποίησις ἀσβέστου*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2.282 ΕΤΕΡΑ ΠΟΙΗΣΙΣ ΑΣΒΕΣΤΟΥ Ἄλλοι δὲ ἄσβεστον μόνην λευκὴν ἐχρήσαντο πρὸς τὴν σῆ ψιν· ἀλλ' ἐπὶ μὲν τοῦ λευκοῦ κομάρεως ἔβαλλον ὕδατα λευκὰ ὀργανιστὰ, ἐπὶ δὲ τῶν ξανθῶν ἔβαλλεν ὕδατα ξανθά· καὶ πέψεως γενομένης ἡμερῶν τριῶν ἀνεκομίζετο, καὶ προσφάτοις ὁμοειδέσιν προσέπλεκον, ὡς ἐπὶ τῆς πορφύρας τὸ τριακοστόδυον βάλλοντες. Ἔλεγεν γὰρ Ἑρμῆς ὅτι πορφύραν οἱ παλαιοὶ καὶ πορφυρόχρωμον λίθον οἶδαν τὸν ἰόχαλκον. Ἰδοὺ γὰρ Ἑρμῆ ς , πρὸς τὸν Παύσηριν γράφων, ἔλεγεν ὅτι «Ἐὰν εὕρῃς τὸν πορφυρόχρωμον λίθον, γίνωσκε ὅτι ἐκεῖνός ἐστιν· ἔχεις δὲ αὐτὸν, ὦ Παύσηρ ι , κεχαραγμένον ἐν τῷ κλειδίῳ·» καίτοι τοῦ Ἑρμοῦ οὐδαμοῦ βαφὴν λίθων ἢ πορφύρας ποιησαμένου συγγραφὴν, ἀλλὰ καὶ τὸ κλείδιον περὶ τῆς κατὰ δύο .

2.282 συνθέματα κωμάρεως γέγραπται, ὡς ἀνοικτικῆς τοῦ ἰοῦ δυσχερείας· τῆς μέντοι ἀσβέστου πολλὴν φροντίδα πεποίηται.